ὑβρίζει μὲν τὸν ἀνύβριστον κοίτην. Ἔκδοτος δὲ γίνεται τῇ μοιχείᾳ. τὸν δὲ διορύξοντα τοὺς ἀλλοτρίους γάμους ἕνα μὲν εἶναί φασι τῶν μαθητῶν τοῦ πλάνου, ἐξ Ἑβραίων δὲ πρὸς τὴν ἄθεον θρησκείαν μεταβληθῆναι. πλὴν ἐκ τοιαύτης ἀδίκου τε καὶ ἐβδελυγμένης μίξεως, τίκτεται τῇ μοιχαλίδι τὸ ἐπ' αἰσχρότητι καὶ βδελυρίᾳ περιβόητον ἄγος, ὁ ῥυπαρὸς καὶ ἀκάθαρτος Βαάνης. Οὗτος ἐν τῇ τρυφῇ τῶν κακῶν ὁ χείριστος, τὸν εἰρημένον ἐπαφρόδιτον ὁ Βαάνης. Ὃς πάντα μὲν τὰ τῶν πρὸ αὐτοῦ, οἷς συνεκροτεῖτο ἡ ἀσέβεια στέργων, ἀκαθαρσίᾳ δὲ βίου, καὶ σωμάτων μίξεσιν ἀρρήτοις, καὶ ταῖς ἄλλαις ἀθεμιτουργίαις τοὺς ἔμπροσθεν φιλονεικῶν ἀποκρύψασθαι, διετέλει διδάσκων τοὺς πειθομένους τὴν ὀλέθριον μάθησιν. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους συναναφύεται τῷ πολυμόρφῳ τούτῳ καὶ βδελυρῷ θηρίῳ, ἕτερόν τι παραπλήσιον δρακοντείου γέμον ἰοῦ. Κώμη δὲ ἦν αὐτῷ ἡ Ἀνιά πατρίς, τῇ Ταβίᾳ πλησιάζουσα πόλει. Καὶ Δρυΐνος ἦν τῷ δειλαίῳ τὸ ὄνομα, τῆς κλήσεως θριαμβευούσης τὸν ἰοβόλον καὶ φθοροποιὸν ὄφιν κρυπτόμενον ἐν ἀνθρωπείῳ σχήματι. Τούτῳ τῷ θηρίῳ τίκτεται παῖς, ἐξ αὐτῶν, οἶμαι, τῶν ἰοβόλων σπερμάτων μᾶλλον τοῦ ἀρχεκάκου ὄφεως, ἢ ἐκ τοῦ προσεχῶς φύντος, ἕλκων τὰς ἀπαρχὰς τῆς γενέσεως. Τίθεται δὲ οὖν ὁ πατὴρ τῷ γεννηθέντι κλῆσιν τὸν Σέργιον, σκεῦος ὕστερον ἀναδειχθέντα πᾶσαν τοῦ διαβόλου τὴν κακίαν χωρῆσαι δυνάμενον· πιθανὸν μὲν κηρύξαι τὴν ἀσέβειαν, δραστήριον δέ, καιροῦ κελεύοντος, κρύψαι τὸ φρόνημα· καὶ δεινὸν μὲν τὴν ἀρετὴν σχηματίσασθαι, ὀξὺν δὲ δόλους ῥάψαι, καὶ ψυχὰς ἀνθρώπων συνελκύσαι εἰς ἀπώλειαν· καὶ συντόμως φάναι,

Hic ad sententiam aliquid deest.